www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥΣ ΑΝΑΡΓΥΡΟΥΣ

# ΚΥΡΟΝ ΚΑΙ ΙΩΑΝΝΗΝ

Συνετέθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 1996 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΥΣ ΑΝΑΡΓΥΡΟΥΣ ΚΥΡΟΝ ΚΑΙ ΙΩΑΝΝΗΝ

* * *

*Εὐλογητός· Κύριε εἰσάκουσον· Θεὸς Κύριος καὶ τὸ*

Τροπάριον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τῶν ἰαμάτων εἰληφότες τὴν χάριν, τὰς ἀσθενείας καὶ τὰς νόσους ἰᾶσθε, ψυχῆς τε καὶ τοῦ σώματος ἀκέστορες κλεινοί, ὅθεν θεραπεύσατε, ἀναργύρως τὰ πάθη, Κῦρε Ἰωάννη τε, τὴν γαλήνην διδόντες, τοῦ ἀληθοῦς καὶ μόνου Ἰατροῦ, θείαις πρεσβείαις, ὑμῖν τοῖς προσπίπτουσι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν', Ἐλέησόν με ὁ Θεός...

**εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*"Πάθη ἡμῶν τὰ δυσαχθῆ, Ἀνάργυροι, ἰᾶσθε. Ἀ (θανάσιος)".*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ἁρματηλάτην Φαραώ.

Πεπλουτηκότες ἐκ Θεοῦ Ἀνάργυροι, χάριν ἰάσεων, ταύτην τοῖς αἰτοῦσι, φιλανθρώπως δίδοτε, ὡς πλήρεις ὄντες Ἅγιοι, τῆς ἀγάπης τῆς θείας, ἣν καὶ ἡμῖν ἐπιδείξασθε, τοῖς ὑμῶν πρεσβείαις προσφεύγουσι.

Ἁμαρτημάτων τοῖς κλοιοῖς σφιγγόμενοι, δικαίως πάσχομεν, ἰατῆρες θεῖοι, καὶ ψυχὴν καὶ σώματα, τὴν λύσιν οὖν μὴ ἔχοντες, πρὸς



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὑμᾶς εὐελπίστως, ἀπολυτρώσεως τρέχομεν, ὅθεν μὴ κενοὺς καταισχύνετε.

Θεοπρεπῶς διακονοῦντες Ἅγιοι, τὴν ἐπιστήμην ὑμῶν, τῇ εὐχῇ ἑνοῦντες, ταύτην ἀπεδείκνυτε, ἐνεργεστέραν γνώσεως, ἀνθρωπίνης διό περ, μᾶλλον Χριστὸς ἐθεράπευεν, Ὃν ὑπὲρ ἡμῶν ἱλεώσασθε.

## Θεοτοκίον

Ἡ τῶν ἁπάντων Ἰατρὸν γεννήσασα, τοῦτον ἱκέτευε, Θεομῆτορ Κόρη, σὺν δυσὶν ἀκέστορσι, Κύρῳ καὶ Ἰωάννῃ τε, ὅπως πάθη ποικίλα, πόῤῥω διώξῃ τῶν δούλων σου, τῶν ἀνευφημούντων σε Δέσποινα.

## Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἠγαθύνθη Δεσπότης, ἀσκητικῶς βλέπων σε, Κῦρε ἐν ἐρήμῳ βιοῦντα, ὅθεν ἐβράβευσε, τὴν πολιτείαν σου, τῇ ἐνεργείᾳ θαυμάτων, ἅ ἡμῖν ἐπίδειξαι, τοῖς αἰτουμένοις σε.

Μὴ βουλόμενος ἔτι, τῷ βασιλεῖ Ἅγιε, τῷ ἐν τῇ σκοτίᾳ εἰδώλων, καθυποττάσεσθαι, ζώνην ἀπέβαλες, ἀκολουθήσας τῷ Κύρῳ, μεθ᾽ οὗ ἡμῖν φάνητε, θεῖοι θεράποντες.

Ὥσπερ χόρτον χρυσίον, τὸ ὑλικὸν ἔχοντες, πάντων ἀναργύρως τὰ πάθη, ἀπεδιώκετε, διὸ χριστόπλουτοι, τὴν δωρεὰν ταύτην δότε, πᾶσι τοῖς μὴ ἔχουσιν, ἄλλον προσφύγιον.

## Θεοτοκίον

Νεανίσκοι Παρθένε, ᾀσματικῶς ψάλλουσιν, ἅμα πρεσβυτέροις τὴν δόξαν, ἣν ἐχαρίσατο, σοὶ ὁ Δεσπότης σου, μεθ᾽ ὧν κἀγὼ ὁ ἀχρεῖος, μείγνυμι τὸ Χαῖρέ σοι, ἀειμακάριστε.

Διάσωσον, ἀσθενειῶν καὶ τῶν νόσων δυὰς Ἁγίων, Ἀναργύρων τοὺς προσπίπτοντας πόθῳ εἰκόνι σου, καὶ δὸς ὑγιείαν σταθηράν, ταῖς πρεσβείαις σου πρὸς Δεσπότην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Δυὰς θαυμαστή, Ἀνάργυροι χριστόψυχοι, ποικίλων παθῶν, ἡμᾶς ἀπολυτρώσασθε, καὶ σοφίαν δίδοτε, ἰατροῖς ὡς αὐτῶν ὁμότεχνοι, ἵνα οἱ πάντες Θεόν, δοξάζωμεν πανεύφημοι.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Τῆς ἐρήμου κατέλιπες, Κῦρε ἡσυχίαν πλήθει ἀγάπης σου, ἧς κἀμὲ ποίησον μέτοχον, ὡς ἀκέστωρ θεῖος καὶ φιλάδελφος.

Ἀσθενεῖς ἐθεράπευες, θεῖε Ἰωάννη Χριστοῦ ὀνόματι, δι᾽ οὗ πάθη μου θεράπευσον, τῆς ψυχῆς καὶ σώματος δυσίατα.

Δωδεκάδος ἐφάνητε, θείων Ἀποστόλων σεπτοὶ ὁμότροποι, θησαυροὺς μὴ θησαυρίζοντες, ἐπιγείους πάνσοφοι Ἀνάργυροι.

Θεοτοκίον

Ὑψηλόφρονα κέκτημαι, γνώμην Παναμώμητε ἀλλὰ δέομαι, ταπεινόν με ἐναπέργασαι, μητρικαῖς πρεσβείαις σου πρὸς Κύριον.

Ὠιδὴ Ἵνα τί με ἀπώσω.

Στήριξόν με πεσόντα, ἐξ ἁμαρτιῶν μου Κῦρε πανόλβιε, καὶ χορήγησόν μοι, τὴν ὑγιείαν ψυχῆς τε καὶ σώματος, ἵνα προσκυνῶ σου, τὴν πανσεβάσμιον εἰκόνα, καὶ δοξάζω Δεσπότην φιλάνθρωπον.

Ἀγαθοὶ Ἰωάννη, ὑπὲρ ἕνα οἱ δύο ὑπάρχουσιν, ὅθεν συνηρμόσθης, δι᾽ ἀγάπης Χριστοῦ ὁμοτέχνῳ σου, Κύρῳ μεθ᾽ οὗ πάντων, τῶν ἀσθενούντων τὰς ἐντεύξεις, εὐμενῶς προσδεχθείητε Ἅγιοι.

Χρυσῆν ἔχοντες ἄμφω, γνώμην εὐεργέται Ἀνάργυροι τίμιοι, τὴν τῶν ἀσθενούντων, σωτηρίαν ἐν πρώτοις διώκοντες, δίδοτε ἑκάστῳ, κατὰ τὴν πίστιν καὶ τὸ δῶρον, ἰατρείας ὡς βρύσεις χριστόῤῥειθροι.

Θεοτοκίον

Θεοτόκε Παρθένε, κόρον οὐ λαμβάνω τὸ θεῖον σου ὄνομα, ἔχων ἐν τῇ γλώσσῃ, ὡς τροφὴν γλυκυτάτην καὶ ἥδυσμα, πᾶσαν ἀπελαῦνον, τῆς ἁμαρτίας τὴν πικρίαν, ἣν ὡς ἄφρων οὐαί μοι σιτίζομαι.

Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Ἠλέησεν, ὁ καλὸς Δεσπότης μου, ἀνθρωπότητα ἐσχάτως νοσοῦσαν, σωματωθείς, καὶ ἰάτρευσε νόσους, ὡς κυριεύων ἁπάσης τῆς κτίσεως, Ὃν Κῦρε σὺ ἐκμιμηθείς, θεραπεύεις δεινῶς κινδυνεύοντας.

Ἀδάπανος, ἰατρὸς καθέστηκας, Ἰωάννη ἐν Χριστοῦ τῇ δυνάμει, φροῦδας ποιῶν, ἀσθενείας καὶ νόσους, σῶν αἰτουμένων βοήθειαν ἄμαχον, διὸ κἀμοῦ τὰ τὴν ψυχήν, καταβλάπτοντα πάθη ἐκδίωξον.

Νενίκηται, τῆς φθορᾶς ἀήττητος, καὶ πανώλεθρος φαινόμενος νόμος, διὰ Σταυροῦ, ὃν κατέχοντες ὅπλον, Κῦρε σεπτὲ ὡς δραπέτην ἀπέδειξας, σὺν Ἰωάννῃ τῷ κλεινῷ, Ἀναργύρων δυὰς θεοδώρητος.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀνάνηψον, ὦ ψυχή μου τάλαινα, καὶ ἀνάβλεψον τὸ φῶς τοῦ Δεσπότου, ἔχεις καὶ γάρ, δυσωποῦσαν Παρθένον, ἁμαρτανόντων ἐλπίδα στερέμνιον, καὶ φεῦγε τάχει ἀφορμάς, χωριζούσας προσώπου Κυρίου σε.

Διάσωσον, ἀσθενειῶν καὶ τῶν νόσων δυὰς Ἁγίων, Ἀναργύρων τοὺς προσπίπτοντας πόθῳ εἰκόνι σου, καὶ δὸς ὑγιείαν σταθηράν, ταῖς πρεσβείαις σου πρὸς Δεσπότην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν χριστιανῶν.

Ἀναργύρων δυὰς ἡ χριστόφωτος, ἰατροὶ ἀκαταίσχυντοι τάχιστα, ἀσθενείας, τῶν αἰτουμένων ἐξιᾶσθε θαυμαστῶς, εὐχαῖς, ταῖς πρὸς τὸν Χριστόν, Οὗ τῆς ἀγάπης μιμηταί, ἀκριβεῖς ἀνεδείχθητε, Κῦρε σὺν Ἰωάννη, μάρτυρες στεφανῖται, ἵνα τιμῶμεν ἐκ ψυχῆς, τὴν σεπτὴν ὑμῶν ἄθλησιν.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
Στίχος. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ...*

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον

(κεφ.ι' 1.5 - 8)

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· τούτους ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε λεγοντες, ὅτι ἤγγικεν ἡ Βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς

καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

*Δόξα. Ταῖς τῶν Ἀναργύρων.*
*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.*

Στίχ. *Ἐλεησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Κῦρε χριστοκάρδιε, καὶ Ἰωάννη τρισμάκαρ, ἰατροὶ πανθαύμαστοι, ὡς φαρμάκῳ χρώμενοι θεῖον Ὄνομα, πάθη τὰ δυσίατα, καὶ τὰς ἀσθενείας, τῶν ἀνθρώπων ἐκδιώκετε, πᾶσι δωρούμενοι, τὰ πρὸς σωτηρίαν συντείνοντα, καὶ γὰρ ἐξωμοιώθητε, τῷ Χριστῷ ὑμῖν ὅση δύναμις· ὅθεν ὁμοτέχνοις, τὴν χάριν δότε Ἅγιοι πολλήν, καὶ τοῖς νοσοῦσι τὴν ἴασιν, τῆς ψυχῆς καὶ σώματος.

Ὠιδὴ ζ'. Παῖδες ἑβραίων.

Ῥῶσιν παράσχου μοι ὦ Κῦρε, τῷ ἐκ πλήθους μου, παθῶν ἀποκαμόντι, ὅπως χαίρων ὑμνῶ, πολλήν σου παῤῥησίαν, ἣν πρὸς Χριστὸν ἐπλούτησας, ἐξ ἀμέμπτου πολιτείας.

Γρήγορον ἔχοντες προστάτην, καὶ ἀκέστορα, ἀνάργυρον ἐν βίῳ, Ἰωάννη κλεινέ, εὐτόνως βαδιοῦμεν, πορείαν τὴν σωσίψυχον, τὸν Σωτῆρα εὐλογοῦντες.

Ὕψωσον κέρας ἀσθενούντων, ἰατρότεχνε, δυὰς ἱερωτάτη, δωρεὰν τὸ δοθέν, σοὶ χάρισμα διδοῦσα, ἵν᾽ αὐξηθῇ ἡ αἴνεσις, τοῦ Χριστοῦ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον

Ῥίπτω πρὸ τῶν ποδῶν σου Κόρη, ἐμαυτὸν αἰτῶν, σὴν θείαν ἱκεσίαν, ὅτι πένης εἰμί, ἐκ τῶν ἁμαρτιῶν μου, καὶ οὐκ ἰσχύω ὄμματα, ἆραι πρὸς τὸν Ποιητήν μου.

Ὠιδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.

Ὀλισθαίνων ἐκ τῆς ἀπροσεξίας, τετραυμάτισμαι καιρίως θεῖε Κῦρε, ὡς καλὸς ἰατρός, δεῦρο καὶ ἴασαί με, ὅπως τὴν θείαν μνήμην σου, ἑορτάζω εὐγνωμόνως.

Ἰωάννη τὸ κλέος Ἀναργύρων, σῶσον ῥίψασπιν, ἐκ τοῦ καλοῦ ἀγῶνος, καὶ τῇ τάξει Χριστοῦ, πάλιν συνάρμοσόν με, οἷς τρόποις φιλανθρώποις σύ, καὶ καλοῖς ἐπιγινώσκεις.

Ἱπποκράτους καὶ Γαληνοῦ τὰς βίβλους, ἠκυρώσατε ὑμῶν τῇ ἰατρείᾳ, ὦ δυὰς εὐκλεής, ἁγίων Ἀναργύρων, ἔχοντες ἀλεξίνοσον, τὴν ἐπίκλησιν Κυρίου.

Θεοτοκίον

Ἀχαρίστως φερόμενος Παρθένε, πρὸς Δεσπότην μου, κατέχωσα τὴν χάριν, εἰς κοπρίαν παθῶν, ὡς δοῦλος ἀνοήτως, πῶς Τούτῳ οὖν ὀφθήσομαι, ὁ κατάκριτος ἐξ ἔργων;

Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Συνῆκας ἐκ τῆς πείρας ὅτι καλόν, ἀσθενεῖς ἐπισκέπτεσθαι Ἅγιε διὸ πολλούς, ὤρθωσας ἐκ κλίνης ὀδυνηρᾶς, τῇ χάριτι ἣν εἴληφας, Κῦρε καὶ παρέστησας ὑγιεῖς· ὅθεν τοὺς ἐξαιτοῦντας, σεπτήν σου μεσιτείαν, μὴ ἀποστρέψῃς ὡς φιλάδελφος.

Θεῷ ἀφιερώσας σου τὴν ζωήν, Ἰωάννη τρισμάκαρ Ἀνάργυρε, τὴν δωρεάν, δέδεξαι ἰᾶσθαι τοὺς ἀσθενεῖς, οὐχὶ φαρμάκοις

χρώμενος, ἀλλὰ τῇ εὐχῇ τῇ τελεστικῇ, δι᾽ ἧς καὶ δωροφόρει, τοὺς πίστει προσκυνοῦντας, τὸ ἱερόν σου ἐξεικόνισμα.

᾿Ελαίῳ ἐπαλείψαντες ᾿Ιησοῦ, τῆς ἀγάπης μητέρα θεόφρονα, σὺν ταῖς τρισί, θυγατράσι ταύτης πανευκλεεῖς, μάρτυρας ἀπεδείξατε, εἶτα ἐνηθλήσατε καὶ ὑμεῖς, Κῦρε καὶ ᾿Ιωάννη, πρεσβεύοντες Κυρίῳ, δοῦναι ἡμῖν μαρτύρων φρόνημα.

Θεοτοκίον

᾿Ανάγκαις περικείμενοι καὶ δεινοῖς, Θεοτόκε πρὸς σὲ καταφεύγομεν, οἱ εὐτελεῖς, χάριν ἐξαιτούμενοι πρεσβειῶν, πρὸς ῝Ον ἐκυοφόρησας, ὅπως ἐπιδείξηται εὐμενῆ, ἡμῖν τὴν κρίσιν Κόρη, ὅταν καθίσῃ κρῖναι, τὴν οἰκουμένην ὁ Φιλάνθρωπος.

*῎Αξιόν ἐστιν....καὶ τὰ*

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Χαίρετε ᾿Ανάργυροι ἱεροί, ἰατῆρες θεῖοι, νοσημάτων παντοδαπῶν, Κῦρε θεοφόρε, καὶ θεῖε ᾿Ιωάννη, ἰατρῶν πρὸς τὸν Σωτῆρα, πρέσβεις θερμότατοι.

Πάντας τοὺς τιμῶντας μνήμην ὑμῶν, καὶ σεπτὴν εἰκόνα, προσκυνοῦντας πόθῳ πολλῷ, Κῦρε ᾿Ιωάννη, φυλάττετε ἀτρώτους, ἀπὸ παθῶν ποικίλων, καὶ νόσων πάντοτε.

῎Εχοντες τὴν χάριν παρὰ Θεοῦ, τοῦ ἰᾶσθαι νόσους, ᾿Αναργύρων δυὰς σεπτή, δότε ταύτην πᾶσι, τοῖς ἐν ποικίλαις νόσοις, Κῦρε καὶ ᾿Ιωάννη, μάρτυρες ἔνδοξοι.

Πάθεσι βαρούμενοι τὴν ψυχήν, καὶ ἀλγοῦντες νόσοις, ὢ ᾿Ανάργυροι θαυμαστοί, Κῦρε ᾿Ιωάννη, ὑμῶν θείας πρεσβείας, αἰτούμεθα ἐν πίστει, τῆς ἐξιάσεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῇ φιλοθεΐᾳ αἷμα ὑμῶν, ὡς σπονδὴν Κυρίῳ, ἐξεχύσατε ἐν χαρᾷ, τῇ φιλαδελφίᾳ δὲ τῶν πιστῶν τὰς νόσους, Ἀνάργυροι ἰᾶσθε, ὡς χάριν ἔχοντες.

Νέφη ἐκδιώξατε χαλεπά, Κῦρε Ἰωάννη, τὰ σκοτίζοντα λογισμούς, ὅταν ἀσθενείαις πίπτωμεν διαφόροις, ὑπομονὴν διδόντες, καὶ χριστοπείθειαν.

Σπεύσατε Ἀνάργυροι θαυμαστοί, ἐπικαλουμένοις, ἀῤῥωγὴν τὴν ἰατρικήν, ὑμῶν καὶ ταχέως, δίδοτε τὴν ὑγίειαν, ὅπως Χριστῷ τὴν δόξαν, δῶμεν ῥωννύμενοι.

Ἰατρεῖον ἄμισθον τὸν ναόν, ἔχοντες τὸν θεῖον, ὢ θεόψυχοι ἰατροί, ὑμῶν ἀσθενοῦντες, προστρέχομεν ἐν πίστει, καὶ ἴασιν ποικίλων, νόσων λαμβάνομεν.

*Πᾶσαι τῶν Ἀγγέλων...*

*Τρισάγιον. Ὅτι σοῦ ἐστιν κλπ.*

*Εἰς δὲ τὴν ἀπόλυσιν ψάλλομεν τὸ στιχηρόν προσόμοιον.*

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Κῦρε ἰατρὲ θαυματουργέ, Ἰωάννη θεῖε ἀκέστορ, σεπτοὶ Ἀνάργυροι, χάριν ἣν ἐλάβετε παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἰᾶσθαι νοσήματα, ψυχῶν καὶ σωμάτων, δότε τοῖς προστρέχουσι καὶ ἐκζητοῦσιν αὐτήν, πᾶσι δὲ πιστοῖς ὁμοτέχνοις, συναντιλαμβάνεσθε ἄμφω, νοῦν καρδίαν χεῖρας ἁγιάζοντες.

*Δέσποινα πρόσδεξαι...*
*Τὴν πᾶσαν ἐλπίδα μου...κ.λπ.*

Δι᾽ εὐχῶν.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Στίχοι

Ἰατρῶν δυὰς ἁγίων Ἀναργύρων,
Θεραπεύσατε πληθὺν παθῶν ψυχῆς μου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ